ὄνομα καλῶν σὸν τὴν φίλην ἐν ἀγκάλαις
δόξω γυναῖκα καίπερ οὐκ ἔχων ἔχειν·
ψυχρὰν μέν, οἶμαι, τέρψιν, ἀλλ᾽ ὅμως βάρος
ψυχῆς ἀπαντλοίην ἄν. ἐν δ᾽ ὀνείρασι
φοιτῶσά μ᾽ εὐφραίνοις ἄν· ἡδὺ γὰρ φίλους
κἀν νυκτὶ λεύσσειν, ὅντιν᾽ ἂν παρῇ χρόνον.
εἰ δ᾽ Ὀρφέως μοι γλῶσσα καὶ μέλος παρῆν,
ὥστ᾽ ἢ κόρην Δήμητρος ἢ κείνης πόσιν
ὕμνοισι κηλήσαντά σ᾽ ἐξ Ἅιδου λαβεῖν,
κατῆλθον ἄν, καί μ᾽ οὔθ᾽ ὁ Πλούτωνος κύων
οὔθ᾽ οὑπὶ κώπῃ ψυχοπομπὸς ἂν γέρων
ἔσχον, πρὶν ἐς φῶς σὸν καταστῆσαι βίον.
ἀλλ᾽ οὖν ἐκεῖσε προσδόκα μ᾽, ὅταν θάνω,
καὶ δῶμ᾽ ἑτοίμαζ᾽, ὡς συνοικήσουσά μοι.
ἐν ταῖσιν αὐταῖς γάρ μ᾽ ἐπισκήψω κέδροις
σοὶ τούσδε θεῖναι πλευρά τ᾽ ἐκτεῖναι πέλας
πλευροῖσι τοῖς σοῖς· μηδὲ γὰρ θανών ποτε
σοῦ χωρὶς εἴην τῆς μόνης πιστῆς ἐμοί.
ΧΟ. καὶ μὴν ἐγώ σοι πένθος ὡς φίλος φίλῳ
λυπρὸν συνοίσω τῆσδε· καὶ γὰρ ἀξία.
ΑΛ. ὦ παῖδες, αὐτοὶ δὴ τάδ᾽ εἰσηκούσατε
πατρὸς λέγοντος μὴ γαμεῖν ἄλλην ποτὲ
γυναῖκ᾽ ἐφ᾽ ὑμῖν μηδ᾽ ἀτιμάσειν ἐμέ.
ΑΔ. καὶ νῦν γέ φημι, καὶ τελευτήσω τάδε.
ΑΛ. ἐπὶ τοῖσδε παῖδας χειρὸς ἐξ ἐμῆς δέχου.
ΑΔ. δέχομαι, φίλον γε δῶρον ἐκ φίλης χερός.
ΑΛ. σύ νυν γενοῦ τοῖσδ᾽ ἀντ᾽ ἐμοῦ μήτηρ τέκνοις.
ΑΔ. πολλή μ᾽ ἀνάγκη, σοῦ γ᾽ ἀπεστερημένοις.
ΑΛ. ὦ τέκν᾽, ὅτε ζῆν χρῆν μ᾽, ἀπέρχομαι κάτω.
ΑΔ. οἴμοι, τί δράσω δῆτα σοῦ μονούμενος;



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id411082272/24 UNIVERSITÄT LEIPZIG